## HERODOTUS, HISTORIES, 1.3–4

[1] δευτέρῃ δὲ λέγουσι γενεῇ
μετὰ ταῦτα
Ἀλέξανδρον τὸν Πριάμου,
ἀκηκοότα ταῦτα,
ἐθελῆσαί οἱ
ἐκ τῆς Ἑλλάδος
δι᾽ ἁρπαγῆς
γενέσθαι γυναῖκα,
ἐπιστάμενον πάντως
ὅτι οὐ δώσει δίκας.
οὐδὲ γὰρ ἐκείνους διδόναι.

[2] οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην,
τοῖσι Ἕλλησι δόξαι
πρῶτον πέμψαντας ἀγγέλους
ἀπαιτέειν τε Ἑλένην
καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν.

τοὺς δέ,
προϊσχομένων ταῦτα,
προφέρειν σφι
Μηδείης τὴν ἁρπαγήν,
ὡς οὐ δόντες αὐτοὶ δίκας
οὐδὲ ἐκδόντες
ἀπαιτεόντων
βουλοίατό σφι
παρ᾽ ἄλλων
δίκας γίνεσθαι.

4. [1] μέχρι μὲν ὦν τούτου
ἁρπαγάς μούνας
εἶναι
παρ᾽ ἀλλήλων,
τὸ δὲ ἀπὸ τούτου
Ἕλληνας δὴ
μεγάλως αἰτίους γενέσθαι·

προτέρους γὰρ
ἄρξαι στρατεύεσθαι
ἐς τὴν Ἀσίην
ἢ σφέας
ἐς τὴν Εὐρώπην.

As often in Greek, the subsequent parallel clause requires the reader to supply information present in the preceding clause.

[2] τὸ μέν νυν ἁρπάζειν γυναῖκας
ἀνδρῶν ἀδίκων
νομίζειν
ἔργον εἶναι,

τὸ δὲ (ἁρπασθεισέων) σπουδὴν ποιήσασθαι
τιμωρέειν
ἀνοήτων,

τὸ δὲ μηδεμίαν ὤρην ἔχειν
(ἁρπασθεισέων)
σωφρόνων·

δῆλα γὰρ δὴ ὅτι,
εἰ μὴ αὐταὶ ἐβούλοντο,
οὐκ ἂν ἡρπάζοντο.

[3] σφέας μὲν δὴ τοὺς
ἐκ τῆς Ἀσίης
λέγουσι Πέρσαι
ἁρπαζομενέων τῶν γυναικῶν
λόγον οὐδένα ποιήσασθαι,

Ἕλληνας δὲ
Λακεδαιμονίης εἵνεκεν γυναικὸς
στόλον μέγαν συναγεῖραι
καὶ ἔπειτα ἐλθόντας
ἐς τὴν Ἀσίην
τὴν Πριάμου δύναμιν κατελεῖν.

**EXERCISE**: *Rewrite the following passage by phrase.*

[4] ἀπὸ τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον. τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκηιεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικόν ἥγηνται κεχωρίσθαι.